]ς δίδου ποεῖ ⟨τε⟩ του[
[Κν.] εἰσκυ]κλεῖτ' εἴσω με.
(?) καὶ[
ἐπιμ]ελοῦ τούτου. τὸ λο[ιπὸν] ἐγγυᾶν[759
τὴν] ἀδελφήν.
(Γο.) ἐπανένεγκε ταῦτα, [C]ώστ[ραθ', οἷς σε δεῖ.
[Cω.] οὐ[δ]ὲν ὁ πατὴρ ἀντερεῖ [μοι].
(Γο.) τοιγαροῦν ἔγωγέ σοι
ἐγγυῶ δίδωμι πάντων τῶν θεῶν ἐναντίον
†ενεγκεινος δίκαιόν ἐστι π.[.]θη, Cώστρατε.
οὐ πεπλασμένωι γὰρ ἦθει πρὸς τὸ πρᾶγμ' ἐλήλυθας,
ἀλλ' ἁπλῶς, καὶ πάντα ποιεῖν ἠξίωσας τοῦ γάμου 765
ἕνεκα, τρυφερὸς ὢν δίκελλαν ἔλαβες, ἔσκαψας, πονεῖν
ἠθέλησας. ἐν δὲ τούτωι τῶι μέρει μάλιστ' ἀνὴρ
δείκνυτ', ἐξισοῦν ἑαυτὸν ὅστις ὑπομένει τινὶ
εὐπορῶν πένητι· καὶ γὰρ μεταβολὰς οὗτος τ̣ύχ̣[ης
ἐγκρατῶς οἴσει. δέδωκας πεῖραν ἱκανὴν τοῦ τρόπου. 770
διαμένοις μόνον τοιοῦτος.
(Cω.) πολὺ μὲν οὖν κρείττω̣[ν ἔτι.
ἀλλ' ἐπαινεῖν αὐτόν ἐστι φορτικόν ⟨τι⟩ πρᾶγμ' ἴσως.
εἰς καλὸν δ' ὁρῶ παρόντα τὸν πατέρα.
(Γο.) Καλλιππίδης 773
ἐστὶ σοῦ πατήρ;
(Cω.) πάνυ μὲν οὖν.
(Γο.) νὴ Δία πλούσιός γ' ἀνήρ,
⟨καὶ⟩ δικαίως ⟨γ' ὡς⟩ γεωργὸς ἄμαχος.
ΚΑΛΛΙΠΠΙΔΗC ἀπολέλειμμ' ἴσως.
⟨οἱ δὲ⟩ καταβεβρωκότες δὴ τὸ πρόβατον φροῦδοι πάλαι
εἰσὶν εἰς ἀγρόν.

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id41693384X/89 UNIVERSITÄT LEIPZIG